## 150. THE UNFAITHFUL HUSBANDMEN (Mk-Lk Identicals)

| Mark 12:1-12 | Luke 20:9-19 |
|---|---|
| Καὶ ἤρξατο αὐτοῖς | Ἤρξατο δὲ πρὸς τὸν λαὸν |
| ἐν παραβολαῖς λαλεῖν, | λέγειν τὴν παραβολὴν ταύτην· |
| Ἀμπελῶνα ἄνθρωπος | Ἄνθρωπός τις |
| ἐφύτευσεν, | ἐφύτευσεν ἀμπελῶνα, |
| καὶ περιέθηκεν φραγμὸν | |
| καὶ ὤρυξεν ὑπολήνιον | |
| καὶ ᾠκοδόμησεν πύργον, | |
| καὶ ἐξέδετο αὐτὸν γεωργοῖς, | καὶ ἐξέδετο αὐτὸν γεωργοῖς, |
| καὶ ἀπεδήμησεν. | καὶ ἀπεδήμησεν |
| | χρόνους ἱκανούς. |
| | 10 καὶ καιρῷ |
| 2 καὶ ἀπέστειλεν | ἀπέστειλεν |
| πρὸς τοὺς γεωργοὺς | πρὸς τοὺς γεωργοὺς |
| τῷ καιρῷ δοῦλον, | δοῦλον, |
| ἵνα παρὰ τῶν γεωργῶν λάβῃ | ἵνα |
| ἀπὸ τῶν καρπῶν | ἀπὸ τοῦ καρποῦ |
| τοῦ ἀμπελῶνος· | τοῦ ἀμπελῶνος δώσουσιν αὐτῷ· |
| 3 καὶ λαβόντες | οἱ δὲ γεωργοὶ ἐξαπέστειλαν |
| αὐτὸν | αὐτὸν |
| ἔδειραν | δείραντες κενόν. |
| καὶ ἀπέστειλαν κενόν. | |
| 4 καὶ πάλιν ἀπέστειλεν | 11 καὶ προσέθετο |
| πρὸς αὐτοὺς ἄλλον δοῦλον· | ἕτερον πέμψαι δοῦλον· |
| κἀκεῖνον | οἱ δὲ κἀκεῖνον |
| ἐκεφαλίωσαν καὶ ἠτίμασαν. | δείραντες καὶ ἀτιμάσαντες |
| | ἐξαπέστειλαν κενόν. |
| 5 καὶ ἄλλον ἀπέστειλεν, | 12 καὶ προσέθετο τρίτον πέμψαι· |
| κἀκεῖνον ἀπέκτειναν, | οἱ δὲ καὶ τοῦτον τραυματίσαντες ἐξέβαλον. |
| καὶ πολλοὺς ἄλλους, | |
| οὓς μὲν δέροντες | |
| οὓς δὲ ἀποκτέννοντες. | |
| | 13 εἶπεν δὲ ὁ κύριος τοῦ ἀμπελῶνος, |
| 6 ἔτι ἕνα εἶχεν, | |

| | |
|---|---|
| υἱὸν ἀγαπητόν· | |
| ἀπέστειλεν αὐτὸν ἔσχατον | Τί ποιήσω πέμψω |
| πρὸς αὐτοὺς | τὸν υἱόν μου τὸν ἀγαπητόν· |
| λέγων ὅτι | |
| Ἐντραπήσονται τὸν υἱόν μου. | ἴσως τοῦτον ἐντραπήσονται. |
| 7 ἐκεῖνοι δὲ οἱ γεωργοὶ | |
| | 14 ἰδόντες δὲ αὐτὸν |
| | οἱ γεωργοὶ |
| πρὸς ἑαυτοὺς εἶπαν ὅτι | διελογίζοντο πρὸς ἀλλήλους |
| | λέγοντες, |
| Οὗτός ἐστιν ὁ κληρονόμος· | Οὗτός ἐστιν ὁ κληρονόμος· |
| δεῦτε ἀποκτείνωμεν αὐτόν, | ἀποκτείνωμεν αὐτόν, |
| καὶ ἡμῶν ἔσται ἡ κληρονομία. | ἵνα ἡμῶν γένηται ἡ κληρονομία. |
| 8 καὶ λαβόντες | |
| ἀπέκτειναν αὐτόν, | |
| καὶ ἐξέβαλον αὐτὸν | 15 καὶ ἐκβαλόντες αὐτὸν |
| ἔξω τοῦ ἀμπελῶνος. | ἔξω τοῦ ἀμπελῶνος |
| | ἀπέκτειναν. |
| 9 τί οὖν ποιήσει | τί οὖν ποιήσει αὐτοῖς |
| ὁ κύριος τοῦ ἀμπελῶνος | ὁ κύριος τοῦ ἀμπελῶνος |
| ἐλεύσεται | 16 ἐλεύσεται |
| καὶ ἀπολέσει τοὺς γεωργούς, | καὶ ἀπολέσει τοὺς γεωργοὺς |
| | τούτους, |
| καὶ δώσει τὸν ἀμπελῶνα | καὶ δώσει τὸν ἀμπελῶνα |
| ἄλλοις. | ἄλλοις. |
| | ἀκούσαντες δὲ εἶπαν, Μὴ γένοιτο. |
| | 17 ὁ δὲ ἐμβλέψας αὐτοῖς εἶπεν, |
| 10 οὐδὲ | Τί οὖν |
| τὴν γραφὴν ταύτην ἀνέγνωτε, | ἐστιν τὸ γεγραμμένον τοῦτο· |
| Λίθον ὃν ἀπεδοκίμασαν οἱ | Λίθον ὃν ἀπεδοκίμασαν οἱ |
| οἰκοδομοῦντες, | οἰκοδομοῦντες, |
| οὗτος ἐγενήθη εἰς κεφαλὴν | οὗτος ἐγενήθη εἰς κεφαλὴν |
| γωνίας· | γωνίας |
| 11 παρὰ κυρίου ἐγένετο αὕτη, | |
| καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν | |

| | |
|---|---|
| | *18 πᾶς ὁ πεσὼν* |
| | *ἐπ ἐκεῖνον τὸν λίθον* |
| | *συνθλασθήσεται·* |
| | *ἐφ ὃν δ ἂν πέσῃ,* |
| | *λικμήσει αὐτόν.* |
| *12 Καὶ ἐζήτουν αὐτὸν* | *19 Καὶ ἐζήτησαν* |
| | *οἱ γραμματεῖς καὶ οἱ ἀρχιερεῖς* |
| *κρατῆσαι,* | *ἐπιβαλεῖν ἐπ αὐτὸν τὰς χεῖρας* |
| | *ἐν αὐτῇ τῇ ὥρᾳ,* |
| *καὶ ἐφοβήθησαν τὸν ὄχλον,* | *καὶ ἐφοβήθησαν τὸν λαόν·* |
| *ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς* | *ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς* |
| *τὴν παραβολὴν εἶπεν.* | *εἶπεν τὴν παραβολὴν ταύτην.* |
| *καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.* | |

166 words out of 379 words = 44%